**Cambridge International Examinations**
Cambridge International Level 3 Pre-U Certificate

**CLASSICAL GREEK (PRINCIPAL)** **9787/03**

Paper 3 Unseen Translation **May/June 2015**

**2 hours**

Additional Materials: Answer Booklet/Paper

**READ THESE INSTRUCTIONS FIRST**

If you have been given an Answer Booklet, follow the instructions on the front cover of the Booklet.
Write your Centre number, candidate number and name on all the work you hand in.
Write in dark blue or black pen.
Do not use staples, paper clips, glue or correction fluid.
DO **NOT** WRITE IN ANY BARCODES.

Answer **both** questions.

Write your translations on alternate lines.

At the end of the examination, fasten all your work securely together.
The number of marks is given in brackets [ ] at the end of each question or part question.

The syllabus is approved for use in England, Wales and Northern Ireland as a Cambridge International Level 3 Pre-U Certificate.

This document consists of **3** printed pages and **1** blank page.

DC (NL) 108099/1 **R**
© UCLES 2015

**1** Translate into English. Write your translation on **alternate** lines.

*Alcibiades addresses his forces before putting out to sea for Cyzicus, where a Spartan force, supported by the Persians and led by Mindarus, awaits him. Mindarus dies in the subsequent fighting.*

ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ἔμειναν, τῇ δὲ ὑστεραίᾳ Ἀλκιβιάδης ἐκκλησίαν ποιήσας παρεκελεύετο αὐτοῖς ὅτι ἀνάγκη εἴη καὶ ναυμαχεῖν καὶ πεζομαχεῖν· Οὐ γὰρ ἔστιν, ἔφη, χρήματα ἡμῖν, τοῖς δὲ πολεμίοις ἄφθονα παρὰ βασιλέως. τῇ δὲ προτεραίᾳ, ἐπειδὴ ὡρμίσαντο[1], τὰ πλοῖα πάντα συνήθροισε παρ᾽ ἑαυτόν, ὅπως μηδεὶς ἐξαγγείλαι τοῖς πολεμίοις τὸ πλῆθος τῶν νεῶν, ἐπεκήρυξέ τε, ὃς ἂν ἁλίσκηται εἰς τὸ πέραν διαπλέων, θάνατον τὴν ζημίαν. μετὰ δὲ τὴν ἐκκλησίαν παρασκευασάμενος ὡς ἐπὶ ναυμαχίαν ἀνηγάγετο ἐπὶ τὴν Κύζικον. ἐπειδὴ δ᾽ ἐγγὺς τῆς Κυζίκου ἦν, αἰθρίας[2] γενομένης καὶ τοῦ ἡλίου ἐκλάμψαντος καθορᾷ τὰς τοῦ Μινδάρου ναῦς γυμναζομένας[3] πόρρω ἀπὸ τοῦ λιμένος καὶ ἀπειλημμένας ὑπ᾽ αὐτοῦ, ἑξήκοντα οὔσας. οἱ δὲ Πελοποννήσιοι ἰδόντες τὰς τῶν Ἀθηναίων τριήρεις οὔσας πλείους τε πολλῷ ἢ πρότερον καὶ πρὸς τῷ λιμένι, ἔφυγον εἰς τὴν γῆν· καὶ συνορμίσαντες τὰς ναῦς ἐμάχοντο ἐπιπλέουσι τοῖς ἐναντίοις. Ἀλκιβιάδης δὲ ταῖς ναυσὶ περιπλεύσας ἀπέβη εἰς τὴν γῆν. ἰδὼν δὲ ὁ Μίνδαρος, καὶ αὐτὸς ἀποβὰς ἐν τῇ γῇ μαχόμενος ἀπέθανεν· οἱ δὲ μετ᾽ αὐτοῦ ὄντες ἔφυγον.

Xenophon, *Hellenica*, 1.1.14–18 (slightly adapted)

[1] ὁρμίζομαι — I come to anchor
[2] ἡ αἰθρία, -ας — clear weather
[3] γυμνάζομαι — I train, engage in training exercises

[45 + 5 for style and fluency]

**[Total: 50]**

**2** **(a)** Translate into English. Write your translation on **alternate** lines.

*The now childless Creusa has just revealed to an old man, her father's former tutor, that she was once raped by Apollo and gave birth to a child. He asks for further details.*

**Πρεσβύτης Κρέουσα**

Πρ. ὁ παῖς δὲ ποῦ 'στιν, ἵνα σὺ μηκέτ' ᾖς ἄπαις;
Κρ. τέθνηκεν, ὦ γεραιέ, θηρσὶν ἐκτεθείς.
Πρ. τέθνηκ'; Ἀπόλλων δ' ὁ κακὸς οὐδὲν ἤρκεσεν[1];
Κρ. οὐκ ἤρκεσ'[1]· Ἅιδου δ' ἐν δόμοις παιδεύεται.
Πρ. τίς γάρ νιν ἐξέθηκεν; οὐ γὰρ δὴ σύ γε;
Κρ. ἡμεῖς, ἐν ὄρφνῃ[2] σπαργανώσαντες πέπλοις.
Πρ. καὶ πῶς ἐν ἄντρῳ παῖδα σὸν λιπεῖν ἔτλης; 7
Κρ. πῶς; οἰκτρὰ πολλὰ στόματος ἐκβαλοῦσ' ἔπη. 8
Πρ. φεῦ·
τλήμων[3] σὺ τόλμης, ὁ δὲ θεὸς μᾶλλον σέθεν.
Κρ. εἰ παῖδά γ' εἶδες χεῖρας ἐκτείνοντά μοι.
Πρ. μαστὸν διώκοντ' ἢ πρὸς ἀγκάλαις πεσεῖν;
Κρ. ἐνταῦθ' ἵν' οὐκ ὢν ἄδικ' ἔπασχεν ἐξ ἐμοῦ.
Πρ. οἴμοι, δόμων σῶν ὄλβος ὡς χειμάζεται[4].
Κρ. τί κρᾶτα κρύψας, ὦ γέρον, δακρυρροεῖς;
Πρ. σὲ καὶ πατέρα σὸν δυστυχοῦντας εἰσορῶν.
Κρ. τὰ θνητὰ τοιαῦτ'· οὐδὲν ἐν ταὐτῷ μένει.

Euripides, *Ion*, 950–969 (with omissions)

| | |
|---|---|
| [1] ἀρκέω | I help |
| [2] ἡ ὄρφνη, -ης | darkness |
| [3] τλήμων, -ονος | (here) hard-hearted |
| [4] χειμάζομαι | I am storm-tossed |

[45]

**(b)** Write out and scan lines 7 and 8, marking in the quantities, divisions between feet and main caesurae. [5]

**[Total: 50]**

© UCLES 2015

**BLANK PAGE**

Permission to reproduce items where third-party owned material protected by copyright is included has been sought and cleared where possible. Every reasonable effort has been made by the publisher (UCLES) to trace copyright holders, but if any items requiring clearance have unwittingly been included, the publisher will be pleased to make amends at the earliest possible opportunity.

To avoid the issue of disclosure of answer-related information to candidates, all copyright acknowledgements are reproduced online in the Cambridge International Examinations Copyright Acknowledgements Booklet. This is produced for each series of examinations and is freely available to download at www.cie.org.uk after the live examination series.

Cambridge International Examinations is part of the Cambridge Assessment Group. Cambridge Assessment is the brand name of University of Cambridge Local Examinations Syndicate (UCLES), which is itself a department of the University of Cambridge.

© UCLES 2015